χ ῆ ς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδὸν 115 ψ υ χ ῆ ς ἐστι λόγος ἑαυτὸν αὔξων Δημόκριτος 170 εὐδαιμονίη ψ υ χ ῆ ς καὶ κακοδαιμονίη 171 ψ υ χ ὴ οἰκητήριον δαίμονος **5.** Ἡ ψυχὴ ὡς ἀρχὴ γνώσεως, soul as a principle of knowledge, Ἡράκλειτος 107 κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψ υ χ ὰ ς ἐχόντων Φιλόλαος 11.11 νῦν δὲ οὗτος (sc. ὁ ἀριθμός) καττὰν ψ υ χ ὰ ν ἁρμόζων αἰσθήσει πάντα γνωστὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται **6.** Ἡ ψυχὴ ὡς πεδίο ἠθικῆς, soul as a field of morality, Ἡράκλειτος 85 θυμῷ μάχεσθαι χαλεπόν· ὃ γὰρ ἂν θέλῃ, ψ υ χ ῆ ς ὠνεῖται Δημόκριτος 31 ἰατρικὴ μὲν ... σώματος νόσους ἀκέεται, σοφίη δὲ ψ υ χ ὴ ν παθῶν ἀφαιρεῖται 37 ὁ τὰ ψ υ χ ῆ ς ἀγαθὰ αἱρεόμενος τὰ θειότερα αἱρέεται 72 αἱ περί τι σφοδραὶ ὀρέξεις τυφλοῦσιν εἰς τἄλλα τὴν ψ υ χ ὴ ν 159.4 εἰ τοῦ σώματος αὐτῇ (sc. τῇ ψυχῇ) δίκην λαχόντος, παρὰ πάντα τὸν βίον ὧν ὠδύνηται ⟨καὶ⟩ κακῶς πέπονθεν, αὐτὸς γένοιτο τοῦ ἐγκλήματος δι⟨καστής⟩, ἡδέως ἂν καταψηφίσασθαι τῆς ψ υ χ ῆ ς 187 ἀνθρώποις ἁρμόδιον ψ υ χ ῆ ς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι· ψ υ χ ῆ ς μὲν γὰρ τελεότης σκήνεος μοχθηρίην ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψ υ χ ὴ ν οὐδέν τι ἀμείνω τίθησιν 191.4-5-13 ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ· τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψ υ χ ῇ. αἱ δ' ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψ υ χ έ ω ν οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι ... ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μεγάλα καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψ υ χ ῇ 212 ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν ἢ ψ υ χ ῆ ς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσι 247.2 ψ υ χ ῆ ς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος 264.5 ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψ υ χ ῇ καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον 290 λύπην ἀδέσποτον ψ υ χ ῆ ς ναρκώσης λογισμῷ ἔκκρουε.

**ψῦχος** (συνών. ψυχρότης, κρυμός, ἀντίθ. θερμότης, θερμόν, ἀλέα). Ψύχος, cold, Ἐμπεδοκλῆς 65.2 τὰ μὲν τελέθουσι γυναῖκες ψ ύ χ ε ο ς ἀντιάσαντα.

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ